ἐρωτῶνται ⟨περὶ⟩ πρεσβειῶν καὶ ⟨περὶ⟩ πολιτειῶν ⟨ὅσοι⟩ μέγα τι καὶ λαμπρὸν εἰργασμένοι τυγχάνουσιν. ὅθεν ἥκιστα περὶ τούτων οἱ φθονεροὶ καὶ κακοήθεις ἐρωτῶσι, κἂν ἄλλο⟨ς τις ἔρη⟩ται τὰ τοιαῦτα, διακρούονται καὶ παρατρέπουσιν, χώραν τῇ διηγήσει μὴ διδόντες μηδὲ βουλόμενοι λόγου τὸν λέγοντα κοσμοῦντος ἀφορμὰς προέσθαι. καὶ ταῦτ' οὖν † ἐρωτῶντες χαρίζεσθαι τοῖς ἀποκρινομένοις, ἃ τοὺς ἐχθροὺς καὶ δυσμενεῖς αἰσθάνονται μὴ βουλομένους ἀκούειν.'

**3.** 'Καὶ μὴν ὅ γ' Ὀδυσσεὺς τῷ Ἀλκινόῳ (ι 12) E

'σοὶ δ' ἐμὰ κήδεα θυμὸς ἐπετράπετο στονόεντα
εἴρεσθ', ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω.'

καὶ πρὸς τὸν χορὸν ὁ Οἰδίπους (Soph. O. C. 510)

'δεινὸν μὲν τὸ πάλαι κείμενον ἤδη κακόν, ὦ ξεῖν',
[⟨ἐπε⟩γείρειν]'·

ὁ δ' Εὐριπίδης τοὐναντίον (fr. 133)

'ὡς ἡδὺ . . . πόνων',

. . . οὐ τοῖς ἔτι πλανωμένοις καὶ κακὰ φέρουσιν. τῶν οὖν κακῶν φυλακτέον ἐστὶ τὰς ἐρωτήσεις· ἀνιῶνται γὰρ διηγούμενοι καταδίκας αὑτῶν ἢ ταφὰς παίδων ἤ τινας κατὰ γῆν οὐκ εὐτυχεῖς ἢ κατὰ θάλατταν ἐμπορίας. τὸ δὲ F